Ἐρευνῶντες τὴν Ἐκκλησιαστικὴν
Λειτουργικὴν Παράδοσιν

13

# Ἀκολουθία τῆς Ἱερᾶς Προθέσεως ἢ Προσκομιδῆς

## Διάταξις - Ἑρμηνεία ἀκριβὴς



Θέματα Ἱερατικῶν Συνάξεων
Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς
Σύναξις ΙΒ′: 24η Ἀπριλίου 2026 ἐκ. ἡμ.

# Περιεχόμενα

## Ἀκολουθία τῆς Ἱερᾶς Προθέσεως ἢ Προσκομιδῆς


● **Προκαταρκτικά.** ........ **1**

**1. Προετοιμασία τοῦ Ἀμνοῦ.** ........ **1**

**2. Μερὶς τῆς Θεοτόκου.** ........ **4**

**3. Μερίδες τῶν Ἁγίων.** ........ **4**

**4. Μνημόνευσις Ζώντων καὶ Κεκοιμημένων.** ........ **7**

**5. Κάλυψις Τιμίων Δώρων.** ........ **11**

**6. Ἀπόλυσις.** ........ **13**

● **Δίπτυχα.** ........ **15**




●

**Διανέμεται Δωρεὰν γιὰ τὸ Ποιμαντικὸ Ἔργο τῶν Ἐνοριῶν**

●


**Ἔκδοσις α΄ - Ἀπρίλιος 2026**


●


© Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν Ἑλλάδος.



● Διεύθυνσις: Θρασυβούλου 88 (Δημοτικὴ Ἑνότης Φυλῆς), Τ.Κ. 133 51, Τ.Θ. 108, ΦΥΛΗ - ΕΛΛΑΣ.

● Ἀριθμ. Τηλεφ.: 210 2487388. ● Τηλεαντίγραφα (Telefax): 210 2487389.

● Ἱστότοπος εἰς τὸ Διαδίκτυον: www.imoph.org

● E-mail: mitropolis-orfyl@imoph.org

# Ἀκολουθία
# τῆς Ἱερᾶς Προθέσεως ἢ Προσκομιδῆς
## Διάταξις - Ἑρμηνεία ἀκριβὴς

## Προκαταρκτικὰ

Ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου λαμβάνει «Καιρόν», ὡς ἔθος, εἶτα ἐνδύονται **πλήρως** τὰ ἱερὰ αὐτῶν Ἄμφια, νίψαντες δὲ τὰς χεῖρας, ἀπέρχονται εἰς τὴν Πρόθεσιν, ἔνθα προσκυνοῦσι τρίς, λέγοντες καθ᾽ ἑαυτὸν ἕκαστος·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. (γ´)

* * *

## 1. ΠΡΟΕΤΟΙΜΑΣΙΑ ΤΟΥ ΑΜΝΟΥ

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

Ὁ Ἱερεύς, φορῶν τὸ Φελώνιον αὐτοῦ δεδιπλωμένον ἐπὶ τοῦ τραχήλου, λαβὼν δὲ **τὴν πρώτην μόνον** Προσφοράν, ἀσπάζεται Αὐτήν, καὶ θέτων ἐπ᾽ αὐτῆς τὴν ἁγίαν Λόγχην, ὑψοῖ ἀμφοτέρας μέχρι τοῦ μετώπου αὐτοῦ, λέγων·

Ὁ Ἱερεύς·

Ἦχος πλ. δ´.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ Νόμου, τῷ τιμίῳ Σου Αἵματι· τῷ Σταυρῷ προσηλωθείς, καὶ τῇ Λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα Σοι.

Εἶτα, ὁ Ἱερεύς, ποιήσας δι᾽ ἀμφοτέρων τὸ σημεῖον τοῦ Σταυροῦ ἄνω τοῦ ἱεροῦ Δισκαρίου καὶ τοῦ ἁγίου Ποτηρίου, ἀποθέτει τὴν Προσφορὰν ἐπὶ τοῦ δίσκου, πρὸ τῶν ἱερῶν Σκευῶν, καὶ λαμβάνει ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ ταύτην (τὴν Προσφοράν), ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν Λόγχην, μεθ᾽ ἧς καὶ ποιεῖ τρισσῶς τύπον σταυροῦ ἐπὶ τῆς Σφραγῖδος τῆς Προσφορᾶς, ἐξ ἧς ὁ ἅγιος Ἀμνός, διαμειβομένου τοῦ ἑξῆς διαλόγου Ἱερέως καὶ Διακόνου **ἐκ τρίτου**·

Ὁ Διάκονος·

Τοῦ Κυρίου, δεηθῶμεν! Κύριε, ἐλέησον. (γ´)

Ὁ Ἱερεύς·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. (γ´)

Ὁ Διάκονος·

Πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν! (γ´)

Ἀκολούθως, τοῦ Διακόνου ἐνορῶντος εὐλαβῶς καὶ λέγοντος κατὰ μίαν ἑκάστην ἀνατομὴν *Τοῦ Κυρίου δεηθῶμεν,* κρατοῦντος δὲ καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, ὁ Ἱερεὺς ἐμπηγνύει τὴν ἁγίαν Λόγχην ἐν μὲν τῷ δεξιῷ μέρει τῆς Σφραγῖδος, ἀριστερῷ ὡς πρὸς τὸν Ἱερέα, ἐν ᾧ ἐστι τὸ IC, καὶ ἀνατέμνει λέγων·

Ὁ Ἱερεύς·

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν δὲ τῷ ἀριστερῷ, ἐν ᾧ ἐστι τὸ XC, λέγει·

Ὁ Ἱερεύς·

Καὶ ὡς Ἄμνος Ἄμωμος, ἐναντίον τοῦ κείροντος Αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα Αὐτοῦ.

Ἐν τῷ ἄνω μέρει τῆς Σφραγῖδος λέγει·

Ὁ Ἱερεύς·

Ἐν τῇ ταπεινώσει Αὐτοῦ ἡ κρίσις Αὐτοῦ ἤρθη.




Ἐν τῷ κάτω μέρει λέγει·

Ὁ Ἱερεύς·

Τὴν δὲ γενεὰν Αὐτοῦ τίς διηγήσεται;

Ὁ Διάκονος·

Ἔπαρον, Δέσποτα.

Καὶ ὁ Ἱερεύς, ἐμβαλὼν ὁριζοντίως τὴν ἁγίαν Λόγχην ἐκ τοῦ πλαγίου μέρους τῆς Προσφορᾶς ἐξ ἀριστερῶν τῆς Σφραγῖδος, δεξιοῦ ὡς πρὸς τὸν Ἱερέα, ὥστε ἀποκοπῆναι τὸν ἅγιον

Ἀμνὸν διὰ τῆς **Λόγχης** ἀπ᾽ Αὐτῆς τῆς **Προσφορᾶς**, ἐπαίρει **Αὐτὸν** δι᾽ **Αὐτῆς**, λέγων·

Ὁ **Ἱερεύς**·

**Ὅ**τι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ Αὐτοῦ.

**Ὁ Ἱερεὺς** τίθησι τὸν ἅγιον **Ἀμνὸν** ἐν τῷ ἱερῷ **Δισκαρίῳ** ὕπτιον, δηλονότι ἀνεστραμμένον, ἔχοντα τὴν **Σφραγῖδα** ὑποκάτω.

Ὁ **Διάκονος**·

**Θ**ῦσον, Δέσποτα!

**Ὁ Ἱερεὺς** θύει τὸν ἅγιον **Ἀμνόν**, ἤτοι χαράσσει διὰ τῆς ἁγίας **Λόγχης** εἰς τὸ κέντρον Αὐτοῦ σταυρὸν βαθέως, ἤτοι ἄχρι τοῦ λέπους (φλοιοῦ, *κόρας*), προσέχων, ἵνα μὴ Οὗτος διαιρεθῇ, λέγων εἰς τὴν **κάθετον χαραγήν**·

Ὁ **Ἱερεύς**·

**Θ**ύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Ὁ **Διάκονος**·

**Σ**ταύρωσον, Δέσποτα!

**Ὁ Ἱερεὺς** χαράσσει **ὁριζοντίως,** λέγων·

Ὁ **Ἱερεύς**·

**Σ**ταυρωθέντος Σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ ἄγγελος, οὔτε ἄνθρωπος, ἀλλ᾽ Αὐτὸς ὁ Κύριος, ἔσωσας ἡμᾶς· δόξα Σοι.

Ὁ **Διάκονος**·

**Ν**ύξον, Δέσποτα!

**Ὁ Ἱερεὺς** στρέφει ἐπάνω τὸ ἕτερον μέρος, ἤτοι τὸ ἔχον τὴν **Σφραγῖδα**, καὶ νύττει ἐλαφρῶς ἐν τῷ δεξιῷ μέρει, **ἀμέσως ὑπὸ τὸ ὄνομα IC,** μετὰ τῆς **Λόγχης**, λέγων·

Ὁ **Ἱερεύς**·

**Ε**ἷς τῶν στρατιωτῶν λόγχῃ Αὐτοῦ τὴν Πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

**Εἶτα**, ὁ **Διάκονος** ἐγχέει τῷ ἁγίῳ **Ποτηρίῳ** συγχρόνως ἐκ τοῦ νάματος καὶ τοῦ ὕδατος τὸ ἀρκοῦν, εἰπὼν πρότερον·

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν ἕνωσιν!

**Ὁ Ἱερεὺς** λέγει, εὐλογῶν ταῦτα, ἡνωμένα ἐν τῷ ἁγίῳ **Ποτηρίῳ**·

Ὁ Ἱερεύς·

Εὐλογημένη ἡ ἕνωσις τῶν Ἁγίων Σου.

Ὁ Διάκονος·

Πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν!

**Ὁ** Διάκονος καλύπτει πρὸς ἀσφάλειαν τὸ **Ποτήριον** διά τινος καλύμματος, ἄχρι καιροῦ.

* * *

## 2. ΜΕΡΙΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἀκολούθως, ὁ Ἱερεὺς λαμβάνει ἐν ταῖς χερσὶν αὐτοῦ τὴν **δευτέραν** **Προσφοράν**, καὶ ἀσπασάμενος αὐτήν, τέμνει διὰ τῆς ἁγίας Λόγχης τὴν σγραγῖδα-**Μερίδα** τῆς **Θεοτόκου**, λέγων·

Ὁ Ἱερεύς·

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, Ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν Σου θυσιαστήριον.

Ἐν συνεχείᾳ, αἴρει τὴν μερίδα τῆς **Θεοτόκου** καὶ τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου Ἀμνοῦ, ἀριστερῷ ὡς πρὸς τὸν Ἱερέα, πλησίον δὲ τῆς μέσης Αὐτοῦ, λέγων·

Ὁ Ἱερεύς·

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν Σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

* * *

## 3. ΜΕΡΙΔΕΣ ΤΩΝ ΑΓΙΩΝ

● **Εἴδησις.** Τινὲς τῶν Ἱερέων, εὐκολίας χάριν, ἀποκόπτουσιν ὁλόκληρον τὸ τετράγωνον τῆς **Προσφορᾶς**, ἐν ᾧ αἱ πυραμίδες




τῶν **Μ**ερίδων τῶν Ἁγίων καὶ ἐναποθέτουσι τοῦτο ὅλον ἐπὶ τὰ ἀριστερὰ τοῦ **Ἀ**μνοῦ, ἐγγίζοντες ἁπλῶς ἢ χαράττοντες ἐλαφρῶς διὰ τῆς ἁγίας **Λ**όγχης εἰς ἑκάστην **Τ**άγματος **Ἁ**γίων μνημόνευσιν. **Ο**ὕτως ὅμως, παύουσιν οὖσαι **Μ**ερίδες, ἤγουν *τμήματα τοῦ μέρους.*

* * *

**Ὁ** **Ἱ**ερεύς, λαβὼν τὴν **τρίτην Π**ροσφορὰν ἐν ταῖς χερσὶν αὐτοῦ, αἴρει ἐξ αὐτῆς, διὰ τῆς ἁγίας **Λ**όγχης, πρὸς τιμὴν τῶν **Ἁ**γίων **ἐννέα Μερίδας**, καὶ τίθησιν **Α**ὐτὰς ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου **Ἀ**μνοῦ, τῷ δεξιῷ ὡς πρὸς τὸν **Ἱ**ερέα, εἰς **Τ**άξεις τρεῖς **καθέτως,** ὡς ἑξῆς·

| | | |
|---|---|---|
| 1 | 4 | 7 |
| ▲ | ▲ | ▲ |
| 2 | 5 | 8 |
| ▲ | ▲ | ▲ |
| 3 | 6 | 9 |
| ▲ | ▲ | ▲ |

## Τριὰς πρώτη

### Εἰς τὴν α΄ Μερίδα·

Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων Ἀσωμάτων.

### Εἰς τὴν β΄ Μερίδα·

Τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων Προφητῶν Μωϋσέως καὶ Ἀαρών, Ἠλιοὺ καὶ Ἐλισσαίου, Δαβὶδ καὶ Ἰεσσαί· τῶν ἁγίων Τριῶν Παίδων καὶ Δανιὴλ τοῦ Προφήτου, καὶ πάντων τῶν ἁγίων Προφητῶν.

### Εἰς τὴν γ΄ Μερίδα·

Τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου· τῶν Δώδεκα καὶ τῶν Ἑβδομήκοντα, καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

## Τριὰς δευτέρα

### Εἰς τὴν δ΄ Μερίδα·

Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, Μεγάλων Ἱεραρχῶν καὶ Οἰκουμενικῶν Διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου· Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν.

### Εἰς τὴν ε΄ Μερίδα·

Τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου· τῶν ἁγίων μεγάλων Μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου· τῶν Ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Μαρτύρων.

### Εἰς τὴν ϛ΄ Μερίδα·

Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων καὶ πασῶν τῶν Ὁσίων.

## Τριὰς τρίτη

**Εἰς τὴν ζ΄ Μερίδα·**

Τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

**Εἰς τὴν η΄ Μερίδα·**

Τῶν ἁγίων καὶ Δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τῆς Μονῆς ἢ τοῦ Ναοῦ), τοῦ Ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν Μνήμην ἐπιτελοῦμεν.

**Εἰς τὴν θ΄ Μερίδα·**

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν, Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου, (ἢ - Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας τοῦ Μεγάλου καὶ Οὐρανοφάντορος), καὶ πάντων τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

* * *

# 4. ΜΝΗΜΟΝΕΥΣΙΣ ΖΩΝΤΩΝ ϗ ΚΕΚΟΙΜΗΜΕΝΩΝ

• **Εἴδησις. Πρόσχες,** ἵνα αἱ κατὰ τὴν μνημόνευσιν ἐξαγόμεναι **Μερίδες** ὦσι **ψιχία-τμήματα σμικρότατα,** ἄλλως σχηματίζεται *ἀπρόσωπος λοφίσκος* πρὸ τοῦ ἁγίου **Ἀ**μνοῦ, ὅπερ ἄγνωστον τῇ **Παραδόσει** καὶ ἀντίθετον τῷ βαθυτάτῳ ἐκκλησιαστικῷ συμβολισμῷ (**Μερίς:** ***Πρόσωπον** ἡνωμένον τῷ **Ἀ**ρνίῳ).*

### α. Ζώντων

Ὁ Ἱερεύς, λαβὼν τὴν **τετάρτην Π**ροσφοράν, αἴρει ἐξ αὐτῆς **Με**ρίδας ὑπὲρ τῶν **Ζ**ώντων, καὶ τίθησιν αὐτὰς ὑποκάτω ἢ ἔμπροσθεν καὶ πλησίον ἐν δεξιᾷ τοῦ ἁγίου **Ἀ**μνοῦ, λέγων·

Ὁ Ἱερεύς·

Μνήσθητι, Δέσποτα Φιλάνθρωπε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων· τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος)· τοῦ τιμίου Πρεσβυτερίου· τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς Ἱερατικοῦ καὶ Μοναχικοῦ Τάγματος.

Ἐν ταῖς Ἱεραῖς Μοναῖς·

Τοῦ Πατρὸς ἡμῶν (δεῖνος) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Εἶτα, μνημονεύει, αἴρων Μερίδας, καὶ λέγων τὸ Μνήσθητι, Κύριε (τοῦ δεῖνος), τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ ἔστιν ἐν τοῖς ζῶσιν, ἔτι δὲ καὶ ὧν ἔχει ζώντων κατ᾽ ὄνομα, καὶ ἐπιλέγει·

Ὁ Ἱερεύς·

Καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν Σὴν κοινωνίαν, διὰ τῆς Σῆς Εὐσπλαγχνίας, Φιλάνθρωπε Δέσποτα.

## β. Μνημόνευσις περαιτέρω Ζώντων

Ἐν συνεχείᾳ, ὁ Ἱερεὺς μνημονεύει τῶν ὀνομάτων τῶν Ζώντων ἐκ τῶν Διπτύχων τῆς Μονῆς ἢ τοῦ Ναοῦ (βλέπε καὶ ἐν τῷ τέλει τῆς μετὰ χεῖρας Τάξεως), ὡς καὶ πάντων τῶν τυχὸν προσφερόντων Δῶρα διὰ τὴν Θείαν Λειτουργίαν, δυνάμενος, **εἰ βούλοι,** ὅπως μνημονεύσῃ καὶ περαιτέρω, ὡς ἐφ᾽ ἑξῆς, αἴρων Μερίδας καὶ λέγων· Μνήσθητι, Κύριε (τοῦ δεῖνος - τῶν δείνων).

Ὁ Ἱερεύς·

Μνήσθητι, Κύριε, παντὸς τοῦ Ὀρθοδόξου Λαοῦ· **τοῦ** εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ· **τῶν** κατὰ πνεῦμα καὶ σάρκα οἰκείων ἡμῶν· **τῶν** μισούντων καὶ ἀγαπώντων ἡμᾶς· **τῶν** διακονούντων καὶ διακονησάντων ἐν τῷ ἱερῷ Ναῷ τούτῳ (**ἢ** - ἐν τῇ ἱερᾷ Μονῇ ταύτῃ)· **τῶν** ἐν ἀσθενείαις κατακειμένων· **τῶν** ἐν θαλάσσῃ καὶ ἀέρι πλεόντων· **τῶν** ὁδοιπορούντων· **τῶν** ἐν φυλακαῖς καὶ περιστάσεσιν ὄντων· **τῶν** κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ Πόλει καὶ Ἐνορίᾳ (**ἢ** - Μονῇ) ταύτῃ· **τῶν** ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ Ἱεροῦ Ναοῦ τούτου, τῶν κοπιώντων καὶ ψαλλόντων ἐν αὐτῷ· **τῶν** διδασκόντων καὶ διδασκομένων ἐν τοῖς Κατηχητικοῖς Σχολείοις τῆς Μητροπόλεως ἡμῶν· **τῆς**

μαθητιώσης, σπουδαζούσης καὶ ἐργαζομένης νεότητος τῆς χώρας ἡμῶν, τῶν γονέων καὶ διδασκάλων αὐτῶν. Καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν Ὀρθοδόξων, θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας ἐπιδεομένης.

Ἀντίδος αὐτοῖς, Κύριε, ἀντὶ τῶν ἐπιγείων, τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα.

## γ. Μνημόνευσις Κεκοιμημένων

Ἀκολούθως, ὁ Ἱερεύς, λαβὼν τὴν **πέμπτην** Προσφοράν, αἴρει ἐξ αὐτῆς Μερίδας ὑπὲρ τῶν Κεκοιμημένων, καὶ τίθησιν αὐτὰς ὑποκάτω ἢ ἔμπροσθεν καὶ πλησίον ἐν τῇ ἀριστερᾷ τοῦ Ἀμνοῦ, λέγων·

Ὁ Ἱερεύς·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων καὶ ἀοιδίμων Κτητόρων τῆς ἁγίας Ἐκκλησίας (**ἢ** - τῆς ἱερᾶς Μονῆς) ταύτης.

Εἶτα, μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ ἔστιν ἐν τοῖς τεθνεῶσιν, ὡς καὶ ἑτέρων ὧν θέλει Κεκοιμημένων κατ᾽ ὄνομα, καθ᾽ ἕκαστον αἴρων Μερίδα καὶ λέγων· Μνήσθητι, Κύριε (τοῦ δεῖνος), θέτων τὰς Μερίδας ταύτας ὡσαύτως ὡς ἀνωτέρω, καὶ ἐπιλέγει·

Ὁ Ἱερεύς·

Καὶ πάντων τῶν ἐπ᾽ ἐλπίδι Ἀναστάσεως Ζωῆς Αἰωνίου, τῶν τῇ Σῇ κοινωνίᾳ κεκοιμημένων Ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, Φιλάνθρωπε Κύριε.

## δ. Μνημόνευσις περαιτέρω Κεκοιμημένων

Ἐν συνεχείᾳ, ὁ Ἱερεὺς μνημονεύει τῶν ὀνομάτων τῶν Κεκοιμημένων, ἐκ τῶν Διπτύχων τῆς Μονῆς ἢ τοῦ Ναοῦ (βλέπε καὶ ἐν τῷ τέλει τῆς μετὰ χεῖρας Τάξεως), ἔτι δὲ καὶ τῶν Κεκοιμημένων ἐκ τῶν ὀνομάτων τῶν τυχὸν προσφερόντων Δῶρα διὰ τὴν Θείαν Λειτουργίαν, δυνάμενος, **εἰ βούλοι,** ὅπως μνημονεύσῃ καὶ περαιτέρω, ὡς ἐφ᾽ ἑξῆς, αἴρων Μερίδας καὶ λέγων· Μνήσθητι, Κύριε (τοῦ δεῖνος - τῶν δείνων).

Ὁ Ἱερεύς·

**Ὑ**πὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ψυχῶν τῶν ἐν μακαρίᾳ τῇ λήξει γενομένων εὐσεβεστάτων καὶ ἀοιδίμων Ὀρθοδόξων Βασιλέων, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Διακόνων, Ὑποδιακόνων, Ἀναγνωστῶν, Μοναχῶν, Μοναζουσῶν καὶ παντὸς Ἱερατικοῦ καὶ Μοναχικοῦ Τάγματος.

**Τ**ῶν μακαρίων καὶ ἀειμνήστων Κτητόρων τοῦ ἱεροῦ Ναοῦ τούτου (**ἤ -** τῆς ἱερᾶς Μονῆς ταύτης)· **τ**ῶν ἱερατευσάντων καὶ διακονησάντων ἐν αὐτῷ (**ἤ -** ἐν αὐτῇ).

**Τ**ῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν εὐκλεῶς ἀγωνισαμένων, καὶ ἡρωϊκῶς πεσόντων· **τ**ῶν ἐν αἰχμαλωσίᾳ καὶ πικρᾷ δουλείᾳ θανόντων καὶ σφαγιασθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν. **Τ**ῶν Διδασκάλων τοῦ εὐσεβοῦς Γένους ἡμῶν.

* * *

**Ἐ**ν τῷ περατοῦσθαι, ὁ **Ἱ**ερεὺς αἴρει καὶ ὑπὲρ ἑαυτοῦ **Μερίδα** ἐν τοῖς **Ζ**ῶσι, λέγων·

Ὁ Ἱερεύς·

**Μ**νήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος· καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

## ε. Εἰς Συλλείτουργον ἱερατικὸν

**Ε**ἰς περίπτωσιν ἱερατικοῦ **Σ**υλλειτούργου, ἡ **Προσκομιδὴ** τελεῖται συνήθως ὑπὸ τοῦ **δευτέρου τῇ τάξει** Ἱερέως μετὰ τοῦ **Δ**ιακόνου· μετὰ δὲ τὴν ἐξαγωγὴν τῶν **Μ**ερίδων **Ζ**ώντων καὶ **Κ**εκοιμημένων, ὡς προεγράφη, τὰ τίμια **Δ**ῶρα παραμένουσιν ἀκάλυπτα, καὶ προσέρχονται κατὰ τάξιν οἱ λοιποὶ συλλειτουργοῦντες Ἱερεῖς, ἵνα μνημονεύσωσι τῶν ὧν βούλονται ὀνομάτων, ἐν τέλει δέ, προσέρχεται ὁ **πρῶτος τῇ τάξει**, μνημονεύει καὶ καλύπτει τὰ τίμια **Δ**ῶρα, ἀποπληρῶν οὕτω τὴν **Προσκομιδήν**.

* * *

**Ἐ**ν τέλει, ὁ **Ἱ**ερεύς, λαβὼν τὴν ἁγίαν **Λ**όγχην, ἢ τὴν **Μ**οῦσαν (πεπιεσμένος σπόγγος), συστέλλει ἐπιμελῶς τὰς ἐν τῷ **Δ**ισκαρίῳ **Μ**ερίδας ὑποκάτω ἢ λίαν πλησίον τοῦ ἁγίου **Ἀ**μνοῦ, ὥστε κεῖσθαι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τι.

* * *

# 5. ΚΑΛΥΨΙΣ ΤΙΜΙΩΝ ΔΩΡΩΝ

Εἶτα, ὁ Διάκονος, λαβὼν τὸ Θυμιατόν, καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, προσέρχεται τῷ Ἱερεῖ, καὶ λέγει πρὸς Αὐτόν·

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τὸ θυμίαμα.

Καὶ ὁ Ἱερεύς, εὐλογῶν, λέγει τὴν Εὐχὴν τῦ Θυμιάματος·

Ὁ Ἱερεύς·

Θυμίαμά Σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν Σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν Χάριν τοῦ Παναγίου Σου Πνεύματος.

Ὁ Διάκονος·

Στερέωσον, Δέσποτα.

Καὶ λαβὼν τὸν Ἀστερίσκον ὁ Ἱερεὺς καὶ ἀσπασάμενος **τοῦτον,** θυμιῶντος τοῦ Διακόνου **τοῦτον,** τίθησιν ἐν τῷ ἱερῷ Δισκαρίῳ, ἐπάνω τοῦ ἁγίου Ἀμνοῦ, λέγων·

Ὁ Ἱερεύς·

Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος Αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

Ὁ Διάκονος·

Εὐτρέπισον, Δέσποτα.

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ **πρῶτον** Κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει δι᾽ αὐτοῦ τὸν ἅγιον Ἀμνὸν ἄνωθεν τοῦ Ἀστερίσκου σὺν τῷ Δισκαρίῳ, λέγων·

Ὁ Ἱερεύς·

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Ὁ Διάκονος·

Κάλυψον, Δέσποτα.

Τοῦ Διακόνου θυμιῶντος τὸ **δεύτερον** Κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει δι᾽ αὐτοῦ τὸν ἅγιον Ποτήριον, λέγων·

Ὁ Ἱερεύς·

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή Σου, Χριστέ, καὶ τῆς αἰνέσεώς Σου πλήρης ἡ γῆ.

Ὁ Διάκονος·

Σκέπασον, Δέσποτα.

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ **τρίτον** Κάλυμμα, ἤγουν τὸν Ἀέρα, ὁ Ἱερεὺς σκεπάζει δι᾽ αὐτοῦ ἀμφότερα τὰ τίμια Δῶρα, λέγων·

Ὁ Ἱερεύς·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον Σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς Ἀγαθὸς καὶ Φιλάνθρωπος.

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεύς, λαβὼν τὸ Θυμιατόν, θυμιᾷ **ἐκ τρίτου** τὴν ἱερὰν Πρόθεσιν, λέγων καθ᾽ ἑκάστην θυμίασιν·

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα Σοι. (γ΄)

Ὁ δὲ Διάκονος, ἐν ἑκάστῃ εὐλογήσει-θυμιάσει, συμπληροῖ ἐπιλέγων·

Πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν! (γ΄)

Εἶτα, προσκυνοῦσιν εὐλαβῶς ἀμφότεροι **ἐκ τρίτου**, ὁ δὲ Διάκονος, λαβὼν ἐκ τοῦ Ἱερέως τὸ Θυμιατόν, λέγει·

Ὁ Διάκονος·

Ἐπὶ τῇ Προθέσει τῶν τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν!

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς, κλινόμενος ἐπεύχεται, ὑψῶν μικρὸν τὰς χεῖρας.

Ὁ Ἱερεύς·

## Εὐχὴ τῆς Προθέσεως

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας Σωτῆρα καὶ Λυτρωτὴν καὶ Εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· Αὐτὸς εὐλόγησον (διὰ τῆς δεξιᾶς χειρὸς σφραγίζει σταυροειδῶς τὰ τίμια Δῶρα) τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ἐπουράνιόν Σου Θυσιαστήριον. Μνημόνευσον, ὡς Ἀγαθὸς καὶ Φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι᾽ οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ Ἱερουργίᾳ τῶν θείων Σου Μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς Ὄνομά Σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἀμήν!

* * *

## 6. ΑΠΟΛΥΣΙΣ

● **Εἴδησις.** Ἡ Ἀπόλυσις τῆς Προσκομιδῆς δέον, ὅπως συμφωνῇ πρὸς τὰς Ἀπολύσεις τῆς ἑκάστοτε Περιόδου τοῦ Ἐκκλησιαστικοῦ Ἐνιαυτοῦ· οὐδέποτε ὅθεν λέγομεν· *Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς*, ἐκτὸς βεβαίως τῆς Περιόδου τῶν Χριστουγέννων.

Ὁ Ἱερεύς, χαλάσας τὸ μέχρι τότε δεδιπλωμένον Φελώνιον αὐτοῦ, ποιεῖ Μικρὰν Ἀπόλυσιν.

Ὁ Ἱερεύς·

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

Ὁ Διάκονος·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι·

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κ**ύριε, ἐλέησον. (γ΄)

**Δ**έσποτα ἅγιε, εὐλόγησον.

Χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, κλινόμενος μεγάλως,

῾Ο ῾Ιερεύς·

**Χ**ριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· **τ**αῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ῾Αγίας Αὐτοῦ Μητρός· **τ**ῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ᾿Αποστόλων· **τ**ῶν ῾Οσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· (**τ**οῦ ῾Αγίου τοῦ Ναοῦ)· **τ**οῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ᾿Ιωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου (**ἤ** - Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τοῦ Μεγάλου καὶ Οὐρανοφάντορος)· **τ**ῶν ῾Αγίων καὶ Δικαίων Θεοπατόρων ᾿Ιωακεὶμ καὶ Ἄννης· **τ**οῦ ῾Αγίου (δεῖνος - τῆς ἡμέρας)· **κ**αὶ πάντων τῶν ῾Αγίων· **ἐ**λεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ᾿Αγαθὸς καὶ Φιλάνθρωπος.

**Δ**ι᾿ εὐχῶν τῶν ῾Αγίων Πατέρων ἡμῶν, Κύριε ᾿Ιησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

῾Ο Διάκονος·

**Ἀ**μήν!

**῾Ο** ῾Ιερεὺς καὶ ὁ Διάκονος, προσκυνήσαντες **ἐκ τρίτου**, ἀσπάζονται τὰ τίμια Δῶρα, κεκαλυμμένα ὄντα.

**Καὶ** ὁ μὲν ῾Ιερεὺς ἀσπάζεται τὸ ἅγιον Δισκάριον, λέγων· **Ἅ**γιος ὁ Θεός, ὁ Πατὴρ ὁ Ἄναρχος· ἔτι καὶ τὸ ἅγιον Ποτήριον, λέγων· **Ἅ**γιος ᾿Ισχυρός, ὁ Υἱὸς ὁ Συνάναρχος· ὡς καὶ τὸν ἐπὶ τοῦ ᾿Αέρος Σταυρόν, λέγων· **Ἅ**γιος ᾿Αθάνατος, τὸ Πανάγιον Πνεῦμα· **Τ**ριὰς ῾Αγία, δόξα Σοι.

**῾Ο** δὲ Διάκονος ἀσπάζεται μόνον τὸ κάτω μέρος τοῦ ᾿Αέρος.

# ΔΙΠΤΥΧΑ

## Ἱερᾶς Μονῆς Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης

**1. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τῶν Ἁγίων Σου Ἐκκλησιῶν, καὶ εἰρήνευσον Αὐτάς, καὶ δὸς Αὐταῖς εὐστάθειαν, καὶ πνεῦμα ἀγάπης καὶ ἑνότητος.

**2. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τοῦ Μητροπολίτου ἡμῶν (δεῖνος) καὶ φύλαττε Αὐτὸν ὑπὸ τὴν σκέπην Σου.

**3. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τοῦ Πατρὸς ἡμῶν (δεῖνος) Ἱερομονάχου, καὶ φύλαττε Αὐτὸν ὑπὸ τὴν σκέπην Σου· **δ**ίδου εἰς Αὐτὸν ὑγείαν καὶ μακροημέρευσιν· **τ**ήρησον Αὐτὸν ἐν τῷ θελήματί Σου, **κ**αὶ ἐκπλήρωσον τὰ πρὸς σωτηρίαν αἰτήματα Αὐτοῦ.

**4. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος, καὶ ἀξίωσον ἡμᾶς, ἵνα διαβιῶμεν ἐν ἀγάπῃ, ἐν ὑπακοῇ, ἐν εἰρήνῃ καὶ ἀδιαρρήκτῳ ἑνότητι μετὰ τοῦ πνευματικοῦ ἡμῶν Πατρός, μεσιτείᾳ τῶν ἐν ἀσκήσει διαλαμψάντων Ὁσίων Πατέρων καὶ Μητέρων ἡμῶν.

**5. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν Ἀδελφῶν τῆς ἡμετέρας Ἀδελφότητος, οἵτινες πλανηθέντες ὑπὸ τοῦ ἐχθροῦ, ἐγκατέλιπον τὴν Μετάνοιαν αὐτῶν.

**6. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τῶν ἁγίων Σου Ἀρχιερέων, καὶ κατεύθυνον αὐτοὺς εἰς τὴν ὁδὸν τοῦ θελήματός Σου, τῷ Φωτὶ τῆς Χάριτός Σου.

**7. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τῶν Ἱερέων καὶ Διακόνων, καὶ ἐνίσχυσον αὐτούς, ἵνα ἐργάζωνται μετὰ φόβου Θεοῦ, εἰς τὸν Ἀμπελῶνα τῆς Ἐκκλησίας Σου.

**8. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τοῦ σεμνοῦ Μοναχικοῦ Τάγματος, καὶ βοήθησον τοὺς Μοναχοὺς καὶ τὰς Μοναχάς, νὰ διαβιῶσιν ἐν ὑπακοῇ, ταπεινώσει, ἀγάπῃ καὶ ἁγνότητι, τῇ Χάριτί Σου.

**9. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν Ἀρχόντων

ἡμῶν, καὶ λάλησον αὐτοῖς τὰ πρὸς εἰρήνην καὶ πρόοδον τῆς Ἐκκλησίας καὶ Πολιτείας Σου, καὶ ἐλέησον αὐτούς, τῇ Χάριτί Σου.

**10. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τοῦ σύμπαντος κόσμου, καὶ εἰρήνευσον αὐτόν, τῇ δυνάμει τοῦ Σταυροῦ Σου, καὶ ὁδήγησον αὐτὸν εἰς θεογνωσίαν καὶ μετάνοιαν.

**11. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν εὐεργετῶν καὶ δωρητῶν τῆς Ἱερᾶς ἡμῶν Μονῆς, καὶ ἀξίωσον αὐτοὺς τῆς αἰωνίου μακαριότητος, τῇ ἀφάτῳ Ἀγαθότητί Σου.

**12. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν εὐλαβῶν Προσκυνητῶν τῆς Ἱερᾶς Μονῆς ἡμῶν, ὡς καὶ πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ ἐκπλήρωσον πάντα τὰ πρὸς βοήθειαν καὶ σωτηρίαν αἰτήματα αὐτῶν, τῷ ἀμέτρῳ Ἐλέει Σου.

**13. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν Ἀδελφῶν ἡμῶν, τῶν ἁπανταχοῦ τῆς οἰκουμένης εὑρισκομένων ἐν παντοίαις θλίψεσι, κόποις, βασάνοις καὶ ταλαιπωρίαις, καὶ παραμύθησον αὐτούς, τοῖς Οἰκτιρμοῖς Σου.

**14. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν αἰχμαλωσίαις, φυλακαῖς καὶ ἐξορίαις εὑρισκομένων, καὶ ἐνίσχυσον αὐτούς, τῇ Χάριτί Σου.

**15. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν λύπῃ καὶ ἀπογνώσει εὑρισκομένων, καὶ ἐνίσχυσον καὶ παραμύθησον αὐτούς, τῷ Ἐλέει Σου.

**16. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πασῶν τῶν εὐσεβῶν Χριστιανικῶν Οἰκογενειῶν, καὶ τήρησον αὐτὰς ἐν τῷ θείῳ φωτισμῷ Σου, καὶ ἐν τῷ συνδέσμῳ τῆς ἐν Χριστῷ ἑνότητος, ἀγάπης καὶ ἀδιαταράκτου θείας Εἰρήνης Σου.

**17. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἐν διαστάσει εὑρισκομένων Οἰκογενειῶν, καὶ δὸς αὐταῖς εἰρήνην, ἀγάπην καὶ ἐν Χριστῷ ἑνότητα, τῷ ἀφάτῳ Ἐλέει Σου.

**18. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τῆς ἐν ἀσωτίᾳ καὶ τῷ

σκότει τῆς ἀγνοίας εὑρισκομένης νεολαίας Σου, καὶ φώτισον καὶ ὁδήγησον αὐτὴν εἰς ὁδὸν μετανοίας, θεογνωσίας καὶ σωτηρίας, τῇ ἀμέτρῳ Εὐσπλαγχνίᾳ Σου.

**19. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, τῶν ἐν κακοφήμοις οἴκοις εὑρισκομένων ἀξιολυπήτων γυναικῶν, καὶ δὸς αὐταῖς φωτισμὸν καὶ ἐπιστροφήν, καὶ ποίησον αὐτὰς εὐωδίαν Χριστοῦ διὰ τῆς μετανοίας, τῇ ἀμέτρῳ Ἀγαθότητί Σου.

**20. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν χηρείᾳ, ὀρφανείᾳ, γήρατι, ἀσθενείᾳ, καὶ λοιπαῖς ἀνάγκαις εὑρισκομένων, καὶ ἐνίσχυσον, καὶ παρηγόρησον, καὶ προστάτευσον, τῇ Εὐσπλάγχνῳ δεξιᾷ Σου.

**21. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἐπηρεαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων, ἔτι δὲ καὶ τῶν δεινῶς τρυχομένων ἀπὸ ἐπήρειαν μαγείας, μαγγανείας καὶ βασκανίας, καὶ ἐλευθέρωσον αὐτούς, τῷ Ἐλέει Σου.

**22. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἐν ἀμελείᾳ καὶ ραθυμίᾳ εὑρισκομένων ἀδελφῶν ἡμῶν καὶ δούλων Σου, καὶ διέγειρον αὐτοὺς εἰς πρόθυμον μετάνοιαν, τῇ ἀφάτῳ Εὐσπλαγχνίᾳ Σου.

**23. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν Ἐργατῶν τοῦ Εὐαγγελίου Σου, καὶ ἀξίωσον αὐτούς, ἵνα ἐργάζωνται διὰ τὸν εὐαγγελισμὸν τοῦ Λαοῦ Σου ἐν ζήλῳ θεοφιλεῖ, καὶ ταπεινώσει, τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματός Σου.

**24. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἀδελφῶν ἡμῶν τῶν ψυχορραγούντων, καὶ δὸς αὐτοῖς ἀνώδυνα καὶ εἰρηνικὰ τέλη, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματός Σου, ἐν τῇ Ἡμέρᾳ τῆς Κρίσεως, τῇ Χάριτι τοῦ Σταυροῦ καὶ τῆς Ἀναστάσεώς Σου.

**25. Μ**νήσθητι, Κύριε Φιλάνθρωπε, πάντων τῶν ἀπ᾽ αἰῶνος εὐσεβῶς καὶ ἐπ᾽ ἐλπίδι Ἀναστάσεως καὶ Ζωῆς Αἰωνίου κεκοιμημένων δούλων Σου, καὶ ἀνάπαυσον αὐτοὺς ἔνθα ἐπισκοπεῖ τὸ Φῶς τοῦ Προσώπου Σου, πρεσβείαις τῆς Θεοτόκου καὶ Πάντων τῶν Ἁγίων Σου.

**Ἀ**μήν!

